# Λειτουργία τῶν Προηγιασμένων.

* * *

## Η ΕΚΤΕΝΗΣ ΔΕΗΣΙΣ

Εἶτα ὁ διάκονος (ἢ ὁ ἱερεὺς) τὴν ἐκτενῆ δέησιν, ὁ δὲ λαὸς εἰς ἑκάστην δέησιν τὸ Κύριε, ἐλέησον (τρίς), εἰς δὲ τὴν τελευταίαν ἅπαξ.

Εἴπωμεν πάντες ἐξ ὅλης τῆς ψυχῆς καὶ ἐξ ὅλης τῆς διανοίας ἡμῶν εἴπωμεν.

Κύριε παντοκράτορ, ὁ Θεὸς τῶν πατέρων ἡμῶν, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου· δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

Ἔτι δεόμεθα ὑπὲρ τοῦ ἀρχιεπισκόπου ἡμῶν (δεῖνος).

Ἔτι δεόμεθα ὑπὲρ τῶν ἀδελφῶν ἡμῶν, τῶν ἱερέων, ἱερομονάχων, ἱεροδιακόνων καὶ μοναχῶν καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν δούλων τοῦ Θεοῦ, πάντων τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν, τῶν κατοικούντων καὶ παρεπιδημούντων ἐν τῇ πόλει ταύτῃ, τῶν ἐνοριτῶν, ἐπιτρόπων, συνδρομητῶν καὶ ἀφιερωτῶν τῆς ἁγίας ἐκκλησίας ταύτης.

Ἔτι δεόμεθα ὑπὲρ τῶν μακαρίων καὶ ἀοιδίμων κτιτόρων τοῦ ἁγίου ναοῦ τούτου (τῆς ἁγίας μονῆς ταύτης) καὶ ὑπὲρ πάντων τῶν προαναπαυσαμένων πατέρων καὶ ἀδελφῶν ἡμῶν, τῶν ἐνθάδε κειμένων καὶ ἁπανταχοῦ ὀρθοδόξων.

Ἔτι δεόμεθα καὶ ὑπὲρ τῶν καρποφορούντων καὶ καλλιεργούντων ἐν τῷ ἁγίῳ καὶ πανσέπτῳ ναῷ τούτῳ, κοπιώντων, ψαλλόντων, καὶ ὑπὲρ τοῦ περιεστῶτος λαοῦ, τοῦ ἀπεκδεχομένου τὸ παρὰ σοῦ μέγα καὶ πλούσιον ἔλεος.

Ὁ ἱερεύς· Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

* * *

## ΔΕΗΣΕΙΣ ΥΠΕΡ ΤΩΝ ΚΑΤΗΧΟΥΜΕΝΩΝ

Ὁ διάκονος λέγει τὰς ὑπὲρ τῶν κατηχουμένων δεήσεις, τοῦ χοροῦ λέγοντος εἰς ἑκάστην τὸ Κύριε, ἐλέησον.

Εὔξασθε, οἱ κατηχούμενοι, τῷ Κυρίῳ.

Οἱ πιστοὶ ὑπὲρ τῶν κατηχουμένων δεηθῶμεν·

Ἵνα ὁ Κύριος αὐτοὺς ἐλεήσῃ·

Κατηχήσῃ αὐτοὺς τὸν λόγον τῆς ἀληθείας·

Ἀποκαλύψῃ αὐτοῖς τὸ εὐαγγέλιον τῆς δικαιοσύνης·
Ἑνώσῃ αὐτοὺς τῇ ἁγίᾳ αὐτοῦ καθολικῇ καὶ ἀποστολικῇ Ἐκκλησίᾳ.
Σῶσον, ἐλέησον, ἀντιλαβοῦ καὶ διαφύλαξον αὐτούς, ὁ Θεός, τῇ σῇ χάριτι.
Οἱ κατηχούμενοι τὰς κεφαλὰς ὑμῶν τῷ Κυρίῳ κλίνατε.
Ὁ χορός· Σοί, Κύριε.

Ὁ ἱερεὺς τὴν εὐχὴν καὶ τὴν ἐκφώνησιν·

Ἵνα καὶ αὐτοὶ σὺν ἡμῖν δοξάζωσι τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
Ὁ χορός· Ἀμήν.
Καὶ ὁ ἱερεὺς ποιήσας διὰ τοῦ ἱ. Εὐαγγελίου σταυρὸν ἐπὶ τοῦ εἰλητοῦ ἀποθέτει αὐτὸ εἰς τὸ ἄνω μέρος τῆς ἁγίας Τραπέζης καὶ ἐξαπλοῖ τὸ εἰλητόν.
Ὁ δὲ διάκονος λέγει·
Ὅσοι κατηχούμενοι προέλθετε· οἱ κατηχούμενοι προέλθετε· ὅσοι κατηχούμενοι προέλθετε· μή τις τῶν κατηχουμένων.

* * *

Ἀπὸ δὲ τῆς μεσονηστίμου Τετάρτης παρεμβάλλονται ἐνταῦθα αἱ

ΔΕΗΣΕΙΣ ΥΠΕΡ ΤΩΝ ΦΩΤΙΖΟΜΕΝΩΝ

Ὁ διάκονος·
Ὅσοι πρὸς τὸ φώτισμα, προσέλθετε· εὔξασθε, οἱ πρὸς τὸ φώτισμα, τῷ Κυρίῳ.
Ὁ χορὸς εἰς ἑκάστην δέησιν τὸ Κύριε, ἐλέησον.
Οἱ πιστοὶ ὑπὲρ τῶν πρὸς τὸ ἅγιον φώτισμα εὐτρεπιζομένων ἀδελφῶν καὶ τῆς σωτηρίας αὐτῶν τοῦ Κυρίου δεηθῶμεν·
Ὅπως Κύριος ὁ Θεὸς ἡμῶν στηρίξῃ αὐτοὺς καὶ ἐνδυναμώσῃ·
Φωτίσῃ αὐτοὺς φωτισμῷ γνώσεως καὶ εὐσεβείας·
Καταξιώσῃ αὐτοὺς ἐν καιρῷ εὐθέτῳ τοῦ λουτροῦ τῆς παλιγγενεσίας, τῆς ἀφέσεως τῶν ἁμαρτιῶν καὶ τοῦ ἐνδύματος τῆς ἀφθαρσίας·
Ἀναγεννήσῃ αὐτοὺς δι᾽ ὕδατος καὶ Πνεύματος·
Χαρίσηται αὐτοῖς τὴν τελειότητα τῆς πίστεως·
Συγκαταριθμήσῃ αὐτοὺς τῇ ἁγίᾳ αὐτοῦ καὶ ἐκλεκτῇ ποίμνῃ.
Σῶσον, ἐλέησον, ἀντιλαβοῦ καὶ διαφύλαξον αὐτούς, ὁ Θεός, τῇ σῇ χάριτι.
Οἱ πρὸς τὸ φώτισμα, τὰς κεφαλὰς ὑμῶν τῷ Κυρίῳ κλίνατε.
Ὁ χορός· Σοί, Κύριε.

Ὁ ἱερεὺς τὴν εὐχὴν καὶ τὴν ἐκφώνησιν·

Ὅτι σὺ εἶ ὁ φωτισμὸς ἡμῶν καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς

αἰῶνας τῶν αἰώνων.
Ὁ χορός· Ἀμήν.
Ὁ δὲ διάκονος λέγει·
Ὅσοι πρὸς τὸ φώτισμα, προέλθετε· οἱ πρὸς τὸ φώτισμα προέλθετε.
Καί·
Ὅσοι κατηχούμενοι, προέλθετε· μή τις τῶν κατηχουμένων.

* * *

## ΔΕΗΣΕΙΣ ΤΩΝ ΠΙΣΤΩΝ

Ὁ διάκονος·
Ὅσοι πιστοί, ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.
Ὁ χορός· Κύριε, ἐλέησον.
Ὁ διάκονος·
Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.
Ὁ χορός· Κύριε, ἐλέησον.
Ὁ διάκονος· Σοφία.
Ὁ ἱερεὺς τὴν εὐχὴν καὶ τὴν ἐκφώνησιν·
Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
Ὁ χορός· Ἀμήν.
Καὶ πάλιν ὁ διάκονος·
Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.
Ὁ χορός· Κύριε, ἐλέησον.
Ὁ διάκονος·
Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.
Ὁ χορός· Κύριε, ἐλέησον.
Ὁ διάκονος· Σοφία.
Καὶ εἰσέρχεται εἰς τὸ Ἱερόν.

Ὁ ἱερεὺς τὴν εὐχὴν καὶ τὴν ἐκφώνησιν·

Κατὰ τὴν δωρεὰν τοῦ Χριστοῦ σου, μεθ᾽ οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
Ὁ χορός· Ἀμήν.

* * *

## Η ΕΙΣΟΔΟΣ ΤΩΝ ΠΡΟΗΓΙΑΣΜΕΝΩΝ ΔΩΡΩΝ

Ἀντὶ Χερουβικοῦ ψάλλεται τὸ ἑξῆς·

Νῦν αἱ δυνάμεις...
Εὐχὴ Χερουβικοῦ οὐ λέγεται, ἀλλ᾽ εὐθὺς ὁ ἱερεὺς καὶ ὁ διάκονος λέγουσιν ἐκ γ´ χῦμα τὸν ὕμνον.

Εἶτα ὁ ἱερεὺς θυμιᾷ τὴν ἁγίαν Τράπεζαν καὶ τὴν Πρόθεσιν, τοῦ διακόνου ἱσταμένου ἑκάστοτε κατέναντι αὐτοῦ, καὶ προελθὼν ὀλίγον τῶν βημοθύρων θυμιᾷ τὰς εἰκόνας καὶ τὸν λαόν, λέγων καθ᾿ ἑαυτὸν τὸ Δεῦτε προσκυνήσωμεν καὶ τὸν ν´ ψαλμὸν μέχρι τοῦ ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Εἶτα προσκυνοῦσι τρὶς ἐνώπιον τῆς ἁγίας Τραπέζης καὶ ἀσπάζονται τὸ εἰλητὸν καὶ τὴν ἁγίαν Τράπεζαν· προσκυνήσαντες δὲ καὶ αὖθις ἅπαξ καὶ αἰτησάμενοι συγγνώμην παρ᾿ ἀλλήλων καὶ παρὰ τοῦ λαοῦ ἀπέρχονται εἰς τὴν Πρόθεσιν καὶ προσκυνήσαντες ἀσπάζονται τὰ ἅγια Δῶρα κεκαλυμμένα λέγοντες καθ᾿ ἑαυτοὺς τὸ Ὁ Θεός, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ καὶ ἐλέησόν με.

Ὁ δὲ ἱερεὺς λαβὼν τὸν ἀέρα ἐπιθέτει ἐπὶ τῆς κεφαλῆς αὐτοῦ καὶ λαμβάνει ἐν ταῖς χερσὶν αὐτοῦ τὰ ἅγια Δῶρα. Καὶ τοῦ χοροῦ διακόπτοντος τὸν ὕμνον μετὰ τὰς λέξεις ὁ βασιλεὺς τῆς δόξης καὶ σιγῆς βαθείας γενομένης καὶ πάντων καταπεσόντων ἕως ἐδάφους, ὁ ἱερεὺς μεταφέρει τὰ ἅγια Δῶρα, διοδεύων ἔμπροσθεν τοῦ Τέμπλου, τοῦ διακόνου προπορευομένου μετὰ λαμπάδος καὶ θυμιῶντος, καὶ εἰσάγει αὐτὰ διὰ τῆς Ὡραίας Πύλης εἰς τὸ Ἱερὸν καὶ ἀποθέτει ἐπὶ τῆς ἁγίας Τραπέζης, αἴρει δὲ τὰ καλύμματα ἀπ᾿ αὐτῶν καὶ καλύπτει αὐτὰ μόνον διὰ τοῦ ἀέρος. Καὶ θυμιᾷ αὐτὰ λέγων τὰ λοιπα τοῦ ν´ ψαλμοῦ.

Πέτρου Λαμπαδαρίου τοῦ Πελοποννησίου (†1777).

Ἦχος Πα




ως λα τρε ε ε ε λα α τρε ε ευ ȣ σι ι ι
ιν ι ι ι ι ι ι ι ι δȣ ȣ ȣ ȣ
ȣ ȣ ȣ ȣ ȣ ȣ ȣ ȣ ȣ γα α αρ ει ει ει εισ
πο ο ο ρευ ε ται αι αι αι αι αι αι αι αι ο
Βα α α α σι ι ι λε ε χε ε ε ε ε ε
ε ε χε ε ε ε ε ε ε ε ευς της δο ο ο
ξη η η η η η η ης
ΕΙΣΟΔΟΣ
ι δȣ ȣ ȣ
ȣ θυ σι ι α μυ υ στι κη η η η η η
η τε ε ε ε ε ε τε ε ε ε ε ε ε λει
ει ω με νη δο ρυ φο ρει ει ται αι αι αι αι αι
αι αι πι στει και πο ο ο ο ο θω προ ο σε ε
ε ε ε ε ε ε ε ε ε ε ελ θω ω πο ο
θω ω ω προ σε ελ θω ω με ε ε ε ε ε ε εν
ι ι να α με ε ε ε ε ε το ο ο ι να με
ε το ο ο χοι ζω ω ης αι ω νι ι ι
ι ȣ γε ε νω ω ω με ε θα α Α α αλ λη




* * *

## ΔΕΗΣΕΙΣ - ΚΥΡΙΑΚΗ ΠΡΟΣΕΥΧΗ

Ὁ διάκονος λαβὼν εὐλογίαν παρὰ τοῦ ἱερέως ἐξέρχεται καὶ λέγει·

Πληρώσωμεν τὴν ἑσπερινὴν δέησιν ἡμῶν τῷ Κυρίῳ.

Ὁ χορός· Κύριε, ἐλέησον. Ὁμοίως καὶ εἰς τὰς ἐφεξῆς δεήσεις.

Ὑπὲρ τῶν προτεθέντων καὶ προαγιασθέντων τιμίων δώρων τοῦ Κυρίου δεηθῶμεν.

Ὅπως ὁ φιλάνθρωπος Θεὸς ἡμῶν, ὁ προσδεξάμενος αὐτὰ εἰς τὸ ἅγιον καὶ ὑπερουράνιον καὶ νοερὸν αὐτοῦ θυσιαστήριον εἰς ὀσμὴν εὐωδίας πνευματικῆς, ἀντικαταπέμψῃ ἡμῖν τὴν θείαν χάριν καὶ τὴν δωρεὰν τοῦ ἁγίου Πνεύματος δεηθῶμεν.

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης τοῦ Κυρίου δεηθῶμεν.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Τὴν ἑσπέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Ὁ χορός· Παράσχου, Κύριε. Ὁμοίως καὶ εἰς τὰς ἐφεξῆς δεήσεις.

Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν, φύλακα τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν καὶ τῶν πλημμελημάτων ἡμῶν παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν καὶ εἰρήνην τῷ κόσμῳ παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν ἐν εἰρήνῃ καὶ μετανοίᾳ ἐκτελέσαι παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικὰ καὶ καλὴν ἀπολογίαν τὴν ἐπὶ τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ αἰτησώμεθα.

Τὴν ἑνότητα τῆς πίστεως καὶ τὴν κοινωνίαν τοῦ ἁγίου Πνεύματος αἰτησάμενοι, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ χορός· Σοί, Κύριε.

Ὁ ἱερεὺς τὴν εὐχὴν καὶ τὴν ἐκφώνησιν·

Καὶ καταξίωσον ἡμᾶς, Δέσποτα, μετὰ παῤῥησίας, ἀκατακρίτως τολμᾶν ἐπικαλεῖσθαι σὲ τὸν ἐπουράνιον Θεὸν Πατέρα καὶ λέγειν·

Ὁ λαός·

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου, ἐλθέτω ἡ βασιλεία σου· γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον· καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν· καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

Ὁ ἱερεύς· Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

* * *

## ΚΕΦΑΛΟΚΛΙΣΙΑ

Ὁ ἱερεὺς εὐλογῶν τὸν λαόν· Εἰρήνη πᾶσι.

Ὁ χορός· Καὶ τῷ πνεύματί σου.

Ὁ διάκονος· Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

Ὁ χορός· Σοί, Κύριε.

Ὁ ἱερεὺς κλινόμενος τὴν εὐχὴν καὶ τὴν ἐκφώνησιν·

Χάριτι καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ᾽ οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

* * *

## ΥΨΩΣΙΣ - ΚΛΑΣΙΣ - ΜΕΤΑΛΗΨΙΣ

Ὁ ἱερεὺς ἐπεύχεται καὶ προσκυνεῖ τρὶς λέγων καθ᾽ ἑαυτόν· Ὁ Θεός, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ καὶ ἐλέησόν με.

Εἶτα ὁ διάκονος ἐκφωνεῖ· Πρόσχωμεν.

Ὁ δὲ ἱερεύς, κεκαλυμμένων ὄντων τῶν θείων Δώρων, εἰσαγαγὼν τὴν χεῖρα ἅπτεται μετ᾽ εὐλαβείας τοῦ ζωοποιοῦ Ἄρτου καὶ ἐκφωνεῖ·

Τὰ προηγιασμένα ἅγια τοῖς ἁγίοις.

Ὁ χορός· Εἷς ἅγιος, εἷς Κύριος, Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

Καὶ ψάλλει τὸ ἑπόμενον κοινωνικόν·

Γεύσασθε καὶ ἴδετε, ὅτι χρηστὸς ὁ Κύριος. Ἀλληλούϊα.

Εἰς τὴν Θ.Λειτουργίαν τῶν Προηγιασμένων.
Κοινωνικόν. Ἰωάννου τοῦ Κλαδᾶ.
Σύντμησις Ἰωάννου Τραπεζουντίου.

Ἦχος Κε





Κοινωνικὸν τῆς Προηγιασμένης.
Τὸ παρὸν Ἰωάννου τοῦ Κλαδᾶ
τοῦ ἐν Μουσικοῖς ἀρίστου διδασκάλου Λαμπαδαρίου
τοῦ καὶ ἐκ τοῦ εὐαγοῦς Βασιλικοῦ κλήρου.

Ἦχος Κε





αι αι αι αι αι αι αι αι αι αι αι αι ι ι ι ι ι
ι ι ι ι δε ε ε ε ε ε ε ε ε ε
Κε
ε ε ε ε χε και αι ι ι ι ι ι ι δε ε τε
Πα
ε ε ε ε ε ε ο ο ο τι ι ʼι ι ι
ι ι ι ι ι ι ι Χρι ι ι ι ι ι ι ι
ι ι στο ο ο ο ʼο ο ο ο ο ο ο ο ο ο χο
ο ο ο ο ο ο ο ο ο ο ο ο ο ο ο
Μ Πα
ο ο ʼο ο ο ο ο ο ο ο ο ο ος ο ο ο ο
Νη
ο ο ο ο ο ο ο ο ʼο ο ο ο ο ο ο
Πα
ο ο ο ο ο Κυ υ ʼυ υ υ υ υ υ ο Κυ υ
υ υ υ υ υ υ υ υ υ ρι ι ι ι ι ι ι ι
ι ι ι ι ι ι ι ι ι ι ι ρι ι ι ο Κυ
Κε Δι Κε
υ ρι ι ι ο ος ʼα Α α α α α α α α α
Μ Πα
α α α α ʼα α α α α α α α α α α α αλ
Νη
λη η η η η η η η η η η η η η ʼη η
Δι
η η η η η η η η η η η η η η η η η η


η η χη η η η η η η η η η η η
χη η η η η η η η η η η η η χη η η η
η η Α αλ λη η λȣ ȣ ȣ ȣ ȣ ȣ ȣ ȣ ȣ ȣ
ȣ ȣ ȣ ȣ ȣ ι ι ι αλ λη η η λȣ ȣ ȣ ȣ
ȣ ȣ ι α α α α α λε ε ε ε ε ε ε
ε ε ε γε ε ε ιε ε ε ε ε ε ε ε
ε ιε ʔα α α α α α α α α λε ε ε ε ε
ε ε ε ε ε ε ιε χε ε ε ε ε ε ε γε ε ε
ε ιε ʔα α α ιε ʔα α ʔα ιε ε ε ιε ε ε ε ε
ε ε ε ε ιε χε ε ε ε ε χε ε ε ε χε
ε ε ε ε ε ε ε ε ε ιε βȣ ȣ ȣ ȣ ε ε
ʔα α α α α α α α α α α α α α α
α αλ λη η η η η ʔη η η η η η ʔα α α λλη
η η λȣ ȣ ȣ ȣ ȣ ȣ ȣ ȣ ȣ ȣ ȣ ȣ ȣ ȣ
ȣ ι ι ι αλ λη η η λȣ ȣ ȣ ȣ ȣ ȣ ι α
α α α Α α α α α α α α α α α α


Πα
α α α α αλ λη η η ˀη η η η η η η η η
Μ Πα
η η η η η ˀη η η η η η χη η η η ˀα
α α α α α α α α α α α α αλ λη η
Δι
η η η η η η η η η η η η η χη η
η η η η η η η η η η η η η η η η
η η η η η η η η η η η ˀη η η η
Νη
η η η η η η η η η η α α ˀα α α α
Πα
α α αλ λη λȣ ȣ ȣ ȣ ȣ ȣ ȣ ȣ ȣ ȣ ι
ι ι ι ι ι ι ι ι ι ι ι α α αλ λη η
λȣ ȣ ȣ ȣ ȣ ȣ ȣ ȣ ι ι ι Α α λλη λȣ
ȣ ι ι ι α α α α α α α α α α α
Κε
α α α α α α α α ιε ˀα α α α ιε ˀα ιε
ˀα α ˀα α ιε ε ε ε ε ε ιε ε ε ε ε
Δι
ε αλ λη λȣ ȣ ȣ ȣ ȣ ι ι ι ι ι ι ι
Μ Κε
ι ι ι ι ι α α α α α α α α α
Πα Μ Πα
α α α α α α α α α α α α α α α




Κοινωνικὸν τῆς Προηγιασμένης.

Τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Ἰωάννου τοῦ Δαμασκηνοῦ.

Ἐξηγηθὲν παρὰ Χουρμουζίου Χαρτοφύλακος.

Ἦχος Πα






Κοινωνικὸν τῆς Προηγιασμένης.

Ἰωάννου Β. Ἀρβανίτη.

Ἦχος Πα




ʔυ υ υ υ υ υ ρι ι ι ι ι ι ι ι ι ι
Πα
ι ι ι ι ι ι ι ι ʔι ι ι ι ο ο Κυ υ
υ υ υ ʔυ υ υ υ υ υ υ υ υ υ υ ρι ι
χρη στος ο Κυ υ υ υ ρι ι ο ο ο ος
ʔα α α α α α α α α χα α α α α α α
α α ʔα α χα α α α α α α α α ʔα α α α
λλη η η η η η η Α α λλη λȣ ȣ ȣ ȣ ȣ
ȣ ȣ ȣ ȣ ȣ ȣ ȣ ȣ ȣ ι ι Α λλη η λȣ ȣ
ȣ ȣ ȣ ȣ ι α α α α Λε ε ε ε ε ε ε
Δι
ε ε ʔε ε ε ε ε ε ε ε ε Λε ε ε γε ε
Πα Δι
ε ε ε ε ε ε ε ε ε ʔα χα α α α ʔα α
α α α α α λλη η η η ʔη η η η η η η
λȣ ȣ ȣ ȣ ȣ ȣ Α λλη η λȣ ȣ ȣ ȣ ȣ ȣ
ȣ ȣ ȣ ȣ ȣ ȣ ι ι ι ι Α α λλη λȣ ȣ
Πα
ι ι α α α α α α α α Πα α α α α α α
Κε Μ Κε
α α ʔα α α α α α α α α πα α α λι ι




Ἐτονίσθη ιθ´ Σεπτεμβρίου ͵ βι´, ἐξηγήθη μετὰ μικρῶν ἀλλαγῶν κβ´ Μαρτίου ͵ βια´, ἀντεγράφη ζ´ Ἀπριλίου ͵ βιβ´. Ι.Α.

Μετὰ δὲ τὴν θείαν μετάληψιν εὐλογεῖ ὁ ἱερεὺς τὸν λαὸν λέγων· Σῶσον, ὁ Θεός, τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου.

Ὁ χορός, ἀντὶ τοῦ· Εἴδομεν·

Ἦχος Δι




Εἰς τό· Πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

## Ἦχος Δι




* * *

## ΕΥΧΑΡΙΣΤΙΑ

Ὁ διάκονος·

Ὀρθοί· μεταλαβόντες τῶν θείων, ἁγίων, ἀχράντων, ἀθανάτων, ἐπουρανίων καὶ ζωοποιῶν, φρικτῶν τοῦ Χριστοῦ μυστηρίων, ἀξίως εὐχαριστήσωμεν τῷ Κυρίῳ.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Ὁ χορός· Κύριε, ἐλέησον.

Τὴν ἑσπέραν πᾶσαν τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον αἰτησάμενοι, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ χορός· Σοί, Κύριε.

Ὁ ἱερεὺς τὴν εὐχαριστήριον εὐχὴν καὶ τὴν ἐκφώνησιν·

Ὅτι σὺ εἶ ὁ ἁγιασμὸς ἡμῶν καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων·

Ὁ χορός· Ἀμήν.

* * *

# ΑΠΟΛΥΣΙΣ

Ὁ ἱερεύς· Ἐν εἰρήνῃ προέλθωμεν.
Ὁ χορός· Ἐν ὀνόματι Κυρίου.
Ὁ διάκονος· Τοῦ Κυρίου δεηθῶμεν.
Ὁ χορός· Κύριε, ἐλέησον.

Καὶ ὁ ἱερεὺς ἐξελθὼν τῆς Ὡραίας Πύλης ἀναγινώσκει μεγαλοφώνως ἔμπροσθεν τῆς εἰκόνος τοῦ Χριστοῦ τὴν εὐχὴν ταύτην·

Δέσποτα παντοκράτορ, ὁ πᾶσαν τὴν κτίσιν ἐν σοφίᾳ δημιουργήσας· ὁ διὰ τὴν ἄφατόν σου πρόνοιαν καὶ πολλὴν ἀγαθότητα ἀγαγὼν ἡμᾶς εἰς τὰς πανσέπτους ἡμέρας ταύτας πρὸς καθαρισμὸν ψυχῶν καὶ σωμάτων, πρὸς ἐγκράτειαν παθῶν, πρὸς ἐλπίδα ἀναστάσεως· ὁ διὰ τεσσαράκοντα ἡμερῶν πλάκας χειρίσας, τὰ θεοχάρακτα γράμματα, τῷ θεράποντί σου Μωσεῖ· παράσχου καὶ ἡμῖν, ἀγαθέ, τὸν ἀγῶνα τὸν καλὸν ἀγωνίσασθαι, τὸν δρόμον τῆς νηστείας ἐκτελέσαι, τὴν πίστιν ἀδιαίρετον τηρῆσαι, τὰς κεφαλὰς τῶν ἀοράτων δρακόντων συνθλάσαι, νικητάς τε τῆς ἁμαρτίας ἀναφανῆναι καὶ ἀκατακρίτως φθάσαι προσκυνῆσαι καὶ τὴν ἁγίαν ἀνάστασιν.

Ὅτι ηὐλόγηται καὶ δεδόξασται τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Ἦχος Δι




Ὁ δὲ ἱερεὺς ἀπέρχεται εἰς τὴν Πρόθεσιν καὶ λέγει χαμηλοφώνως τὴν εὐχὴν ἐν τῷ συστεῖλαι τὰ ἅγια καὶ τὴν ἐκφώνησιν.

Ὁ διάκονος· Τοῦ Κυρίου δεηθῶμεν.
Ὁ χορός· Κύριε, ἐλέησον.

Ὁ ἱερεὺς εὐλογῶν τὸν λαόν·

Εὐλογία Κυρίου καὶ ἔλεος ἔλθοι ἐφ᾽ ὑμᾶς, τῇ αὐτοῦ χάριτι καὶ φιλανθρωπίᾳ, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Καὶ μετὰ τοῦτο ὁ ἱερεὺς τὴν ἀπόλυσιν·

Δόξα σοι, ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, δόξα σοι.

Ἐρχόμενος ὁ Κύριος ἐπὶ τὸ ἑκούσιον πάθος διὰ τὴν ἡμῶν σωτηρίαν, Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου καὶ παναμώμου αὐτοῦ μητρός, δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ, προστασίαις τῶν τιμίων ἐπουρανίων δυνάμεων ἀσωμάτων, ἱκεσίαις τοῦ τιμίου καὶ ἐνδόξου, προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου, τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων ἀποστόλων, τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων μαρτύρων, τῶν ὁσίων καὶ θεοφόρων πατέρων ἡμῶν, τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης καὶ πάντων τῶν ἁγίων ἐλεῆσαι καὶ σώσαι ἡμᾶς ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Μετὰ δὲ τὴν ἀπόλυσιν ἀναγινώσκονται οἱ ἑπόμενοι ψαλμοί·

Ψαλμὸς λγ´ (33).

Εὐλογήσω τὸν Κύριον ἐν παντὶ καιρῷ, διὰ παντὸς ἡ αἴνεσις αὐτοῦ ἐν τῷ στόματί μου.

Ἐν τῷ Κυρίῳ ἐπαινεθήσεται ἡ ψυχή μου· ἀκουσάτωσαν πραεῖς καὶ εὐφρανθήτωσαν.

Μεγαλύνατε τὸν Κύριον σὺν ἐμοί, καὶ ὑψώσωμεν τὸ ὄνομα αὐτοῦ ἐπὶ τὸ αὐτό.

Ἐξεζήτησα τὸν Κύριον, καὶ ἐπήκουσέ μου καὶ ἐκ πασῶν τῶν θλίψεών μου ἐῤῥύσατό με.

Προσέλθετε πρὸς αὐτὸν καὶ φωτίσθητε καὶ τὰ πρόσωπα ὑμῶν οὐ μὴ καταισχυνθῇ.

Οὗτος ὁ πτωχὸς ἐκέκραξε, καὶ ὁ Κύριος εἰσήκουσεν αὐτοῦ καὶ ἐκ πασῶν τῶν θλίψεων αὐτοῦ ἔσωσεν αὐτόν.

Παρεμβαλεῖ ἄγγελος Κυρίου κύκλῳ τῶν φοβουμένων αὐτὸν καὶ ῥύσεται αὐτούς.

Γεύσασθε καὶ ἴδετε, ὅτι χρηστὸς ὁ Κύριος· μακάριος ἀνήρ, ὃς ἐλπίζει ἐπ᾽ αὐτόν.

Φοβήθητε τὸν Κύριον πάντες οἱ ἅγιοι αὐτοῦ· ὅτι οὐκ ἔστιν ὑστέρημα τοῖς φοβουμένοις αὐτόν.

Πλούσιοι ἐπτώχευσαν καὶ ἐπείνασαν· οἱ δὲ ἐκζητοῦντες τὸν Κύριον οὐκ ἐλαττωθήσονται παντὸς ἀγαθοῦ.

Δεῦτε, τέκνα, ἀκούσατέ μου· φόβον Κυρίου διδάξω ὑμᾶς.

Τίς ἐστιν ἄνθρωπος ὁ θέλων ζωήν, ἀγαπῶν ἡμέρας ἰδεῖν ἀγαθάς;

Παῦσον τὴν γλῶσσάν σου ἀπὸ κακοῦ· καὶ χείλη σου τοῦ μὴ

λαλῆσαι δόλον.
Ἔκκλινον ἀπὸ κακοῦ καὶ ποίησον ἀγαθόν· ζήτησον εἰρήνην καὶ δίωξον αὐτήν.
Ὀφθαλμοὶ Κυρίου ἐπὶ δικαίους, καὶ ὦτα αὐτοῦ εἰς δέησιν αὐτῶν.
Πρόσωπον δὲ Κυρίου ἐπὶ ποιοῦντας κακά, τοῦ ἐξολοθρεῦσαι ἐκ γῆς τὸ μνημόσυνον αὐτῶν.
Ἐκέκραξαν οἱ δίκαιοι, καὶ ὁ Κύριος εἰσήκουσεν αὐτῶν, καὶ ἐκ πασῶν τῶν θλίψεων αὐτῶν ἐῤῥύσατο αὐτούς.
Ἐγγὺς Κύριος τοῖς συντετριμμένοις τὴν καρδίαν, καὶ τοὺς ταπεινοὺς τῷ πνεύματι σώσει.
Πολλαὶ αἱ θλίψεις τῶν δικαίων· καὶ ἐκ πασῶν αὐτῶν ῥύσεται αὐτοὺς ὁ Κύριος.
Φυλάσσει Κύριος πάντα τὰ ὀστᾶ αὐτῶν· ἓν ἐξ αὐτῶν οὐ συντριβήσεται.
Θάνατος ἁμαρτωλῶν πονηρός, καὶ οἱ μισοῦντες τὸν δίκαιον πλημμελήσουσι.
Λυτρώσεται Κύριος ψυχὰς δούλων αὐτοῦ, καὶ οὐ μὴ πλημμελήσουσι πάντες οἱ ἐλπίζοντες ἐπ᾽ αὐτόν.

## Ψαλμὸς ρμδ΄ (144).

Ὑψώσω σε, ὁ Θεός μου, ὁ βασιλεύς μου, καὶ εὐλογήσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.
Καθ᾽ ἑκάστην ἡμέραν εὐλογήσω σε, καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τόν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.
Μέγας Κύριος καὶ αἰνετὸς σφόδρα, καὶ τῆς μεγαλωσύνης αὐτοῦ οὐκ ἔστι πέρας.
Γενεὰ καὶ γενεὰ ἐπαινέσει τὰ ἔργα σου, καὶ τὴν δύναμίν σου ἀπαγγελοῦσι.
Τὴν μεγαλοπρέπειαν τῆς δόξης τῆς ἁγιωσύνης σου λαλήσουσι, καὶ τὰ θαυμάσιά σου διηγήσονται.
Καὶ τὴν δύναμιν τῶν φοβερῶν σου ἐροῦσι, καὶ τὴν μεγαλωσύνην σου διηγήσονται.
Μνήμην τοῦ πλήθους τῆς χρηστότητός σου ἐξερεύξονται, καὶ τῇ δικαιοσύνῃ σου ἀγαλλιάσονται.
Οἰκτίρμων καὶ ἐλεήμων ὁ Κύριος, μακρόθυμος καὶ πολυέλεος.
Χρηστὸς Κύριος τοῖς σύμπασι, καὶ οἱ οἰκτιρμοὶ αὐτοῦ ἐπὶ πάντα τὰ ἔργα αὐτοῦ.
Ἐξομολογησάσθωσάν σοι, Κύριε, πάντα τὰ ἔργα σου, καὶ οἱ ὅσιοί σου εὐλογησάτωσάν σε.
Δόξαν τῆς βασιλείας σου ἐροῦσι, καὶ τὴν δυναστείαν σου λαλήσουσι.
Τοῦ γνωρίσαι τοῖς υἱοῖς τῶν ἀνθρώπων τὴν δυναστείαν σου, καὶ τὴν δόξαν τῆς μεγαλοπρεπείας τῆς βασιλείας σου.

Ἡ βασιλεία σου βασιλεία πάντων τῶν αἰώνων, καί ἡ δεσποτεία σου ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ.
Πιστὸς Κύριος ἐν πᾶσι τοῖς λόγοις αὐτοῦ, καὶ ὅσιος ἐν πᾶσι τοῖς ἔργοις αὐτοῦ.
Ὑποστηρίζει Κύριος πάντας τοὺς καταπίπτοντας, καὶ ἀνορθοῖ πάντας τοὺς κατεῤῥαγμένους.
Οἱ ὀφθαλμοὶ πάντων εἰς σὲ ἐλπίζουσι, καὶ σὺ δίδως τὴν τροφὴν αὐτῶν ἐν εὐκαιρίᾳ.
Ἀνοίγεις σὺ τὴν χεῖρά σου, καὶ ἐμπιπλᾷς πᾶν ζῷον εὐδοκίας.
Δίκαιος Κύριος ἐν πάσαις ταῖς ὁδοῖς αὐτοῦ, καὶ ὅσιος ἐν πᾶσι τοῖς ἔργοις αὐτοῦ.
Ἐγγὺς Κύριος πᾶσι τοῖς ἐπικαλουμένοις αὐτόν, πᾶσι τοῖς ἐπικαλουμένοις αὐτὸν ἐν ἀληθείᾳ.
Θέλημα τῶν φοβουμένων αὐτὸν ποιήσει, καὶ τῆς δεήσεως αὐτῶν εἰσακούσεται καὶ σώσει αὐτούς.
Φυλάσσει Κύριος πάντας τοὺς ἀγαπῶντας αὐτόν, καὶ πάντας τοὺς ἁμαρτωλοὺς ἐξολοθρεύσει.
Αἴνεσιν Κυρίου λαλήσει τὸ στόμα μου, καὶ εὐλογείτω πᾶσα σὰρξ τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Εἶτα ὁ ἱερεύς·

Δι᾽ εὐχῶν τῶν ἁγίων πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεός, ἐλέησον ἡμᾶς.
Ὁ λαός· Ἀμήν.

* * * * *